ἡμῖν, πάντα γὰρ ἀπέδωκας ἡμῖν. Κύριε
ὁ θεὸς ἡμῶν, κτῆσαι ἡμᾶς, κύριε ἐκτός σου
ἄλλον οὐκ οἴδαμεν. τὸ ὄνομά σου ὀνομάζο-
μεν. Οἱ δὲ νεκροὶ ζωὴν οὐ μὴ ἴδωσιν,
οὐδὲ ἰατροὶ οὐ μὴ ἀναστήσωσι. Διὰ τοῦτο
ἐπήγαγες καὶ ἀπώλεσας, καὶ ἦρας πᾶν ἄρ-
σεν αὐτῶν. Πρόσθες αὐτοῖς κακὰ κύριε,
πρόσθες κακὰ τοῖς ἐνδόξοις τῆς γῆς. Κύριε
ἐν θλίψει ἐμνήσθημέν σου, ἐν θλίψει μικρᾷ
ἡ παιδεία σου ἡμῖν. Καὶ ὡς ἡ ὠδίνουσα
ἐγγίζει τοῦ τεκεῖν, καὶ ἐπὶ τῇ ὠδίνῃ αὐτῆς ἐκέ-
κραξεν. οὕτως ἐγενήθημεν τῷ ἀγαπητῷ
σου. Διὰ τὸν φόβον σου κύριε ἐν γαστρὶ
ἐλάβομεν, καὶ ὠδινήσαμεν καὶ ἐτέκομεν.
πνεῦμα σωτηρίας σου ὃ ἐποιήσαμεν ἐπὶ τῆς
γῆς. Οὐ πεσούμεθα, ἀλλὰ πεσοῦνται οἱ
ἐνοικοῦντες ἐπὶ τῆς γῆς. Ἀναστήσονται οἱ
νεκροί, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις,
καὶ εὐφρανθήσονται οἱ ἐν τῇ γῇ. Ἡ γὰρ δρόσος
ἡ παρὰ σοῦ, ἴαμα αὐτοῖς ἐστι. ἡ δὲ γῆ τῶν
ἀσεβῶν πεσεῖται. Βάδιζε λαός μου,
εἴσελθε εἰς τὸ ταμεῖόν σου, ἀπόκλεισον τὴν

θύραν